καὶ παθῶν ἡ φιλοσοφία μόνη φάρμακόν ἐστι. διὰ γὰρ ταύτην ἔστι καὶ μετὰ ταύτης γνῶναι τί τὸ καλὸν τί τὸ αἰσχρόν, τί τὸ δίκαιον τί τὸ ἄδικον, τί [τὸ] συλλήβδην αἱρετὸν τί φευκτόν πῶς θεοῖς πῶς γονεῦσι πῶς πρεσβυτέροις πῶς νόμοις [πῶς
E ἀλλοτρίοις] πῶς ἄρχουσι πῶς φίλοις πῶς γυναιξὶ πῶς τέκνοις πῶς οἰκέταις χρηστέον ἐστί· ὅτι δεῖ θεοὺς μὲν σέβεσθαι, γονέας δὲ τιμᾶν, πρεσβυτέρους αἰδεῖσθαι, νόμοις πειθαρχεῖν, ἄρχουσιν ὑπείκειν, φίλους ἀγαπᾶν, πρὸς γυναῖκας σωφρονεῖν, τέκνων στερκτικοὺς εἶναι, δούλους μὴ περιυβρίζειν· τὸ δὲ μέγιστον, μήτ' ἐν ταῖς εὐπραγίαις περιχαρεῖς μήτ' ἐν ταῖς συμφοραῖς περιλύπους ὑπάρχειν, μήτ' ἐν ταῖς ἡδοναῖς ἐκλύτους εἶναι μήτ' ἐν ταῖς ὀργαῖς ἐκπαθεῖς καὶ θηριώδεις. ἅπερ ἐγὼ πάντων τῶν ἐκ φιλοσοφίας περιγινομένων ἀγαθῶν πρεσβύτατα
F κρίνω. τὸ μὲν γὰρ εὐγενῶς ἀτυχεῖν ἀνδρός, τὸ δ' ἀνεπιφθόνως εὐθηνεῖν ἀνθρώπου, τὸ δὲ τοῖς λογισμοῖς περιεῖναι τῶν ἡδονῶν σοφοῦ, τὸ δ' ὀργῆς κατακρατεῖν ἀνδρὸς οὐ τοῦ τυχόντος ἐστί. τελείους δ' ἀνθρώπους ἡγοῦμαι τοὺς δυναμένους τὴν
8 πολιτικὴν δύναμιν μεῖξαι καὶ κεράσαι τῷ φιλοσόφῳ, | καὶ δυεῖν ὄντοιν μεγίστοιν ἀγαθοῖν ἐπηβόλους ὑπάρχειν ὑπολαμβάνω, τοῦ τε κοινωφελοῦς βίου πολιτευομένους, τοῦ τ' ἀκύμονος καὶ γαληνοῦ διατρίβοντας περὶ φιλοσοφίαν. τριῶν γὰρ ὄντων βίων ὧν ὁ μέν ἐστι πρακτικὸς ὁ δὲ θεωρητικὸς ὁ δ' ἀπολαυστικός, ὁ μὲν ἔκλυτος καὶ δοῦλος τῶν ἡδονῶν ζῳώδης καὶ μικροπρεπής ἐστιν, ὁ δὲ πρακτικὸς ἀμοιρήσας φιλοσοφίας ἄμουσος